UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XXXVI. Ut deficientibus cognatis Ecclesia haereditatem capiat, utque legata firma maneant.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

ΚΕΦΑΛΑΙΟΝ ΛϚʹ.

Τῶν μὴ ἐχόντων συγγενεῖς κληρονόμον εἶναι τὴν ἐκκλησίαν· καὶ τὰ ὑπ' αὐτῶν δωρηθέντα βέβαια μένειν.

Εἰ δὲ τῶν ἀγχιστέων μηδεὶς ὑπολείποιτο μηδενὸς τῶν προειρημένων κατὰ λόγον ἂν γενόμενος κληρονόμος, μήτε τῶν μαρτύρων φημί, μήτε τῶν ὁμολογησάντων, μήτε τῶν μετοικούντων ἐπὶ τῇ τοιαύτῃ μεταστάντων προφάσει, ἡ καθ' ἑκάστους ἀεὶ τόπους ἐκκλησία διαδέχεσθαι τετάχθω τὸν κλῆρον· οὐκ ἔσται δὲ τοῦτο πάντως οὐδὲ τοῖς ἀπελθοῦσι βαρύ, εἴπερ ἧς ἕνεκα πάντας ὑπέστησαν πόνους, κληρονόμον ἐντυχοῖεν ταύτην. προσκεῖσθαι γε μὴν ἀναγκαῖον καὶ τόδε. ὡς τῶν προειρημένων εἴ τινες ἐδωρήσαντό τι τῶν ὄντων οἷς ἐβούλοντο, τούτοις τὴν δεσποτείαν εὔλογον κυρίαν μένειν.

Caput XXXVI.

Vt deficientibus cognatis Eccleſia hæreditatem capiat, utque legata firma maneant.

Quod ſi nullus cognatus ſuperſit qui prout rationi conſentaneum eſt hæreditatem capeſſat eorum quos ſuprà memoravi, Martyrum ſcilicet & Confeſſorum, aut illorum qui ob hujuſmodi cauſam ex patria migraverunt, cujuſque loci Eccleſiam hæreditatem adire decernimus. Nec defunctis utiq; moleſtum erit, ſi cujus gratiâ nullum non diſcrimen ſubierunt, eam ipſis hæredem habere contingat. Illud quoque
B neceſſariò adjiciendum eſt, ut ſi qui ex ſuprà memoratis aliquid de bonis ſuis cuilibet donaverint, ei dominium, prout æquum eſt, firmum ratumq; permaneat.

ΚΕΦΑΛΑΙΟΝ ΛΖʹ.

Ἀποδιδόναι τοῖς κατέχουσι τὰ τοιαῦτα χωρία, καὶ κήπους καὶ οἰκίας, χωρὶς ὧν ἐκαρπώσαντο.

Ὅπως δὲ μηδὲ πλάνη τις ἐμφαίνοιτο τῷ προστάγματι, ἀλλ' ἕτοιμον ᾖ τὸ δίκαιον πᾶσι γινώσκειν. ἰδέτωσαν ἅπαντες, εἴ τε χωρίον, εἴτ' οἰκίαν, εἴ τε κῆπον, εἴ τε ἕτερόν τι τῶν προειρημένων κατέχοιεν, καλὸν καὶ λυσιτελὲς αὐτοῖς εἶναι καὶ ὁμολογεῖν αὐτοῖς καὶ ἀποκαθιστάναι σὺν πάσῃ τῇ ταχυτῆτι. εἰ γὰρ καὶ τὰ μάλιστα φανεῖεν τινὲς ἐξ αὐτῶν ἀπὸ τῆς οὐ δικαίας δεσποτείας πολλὰ καρπωσάμενοι, καὶ γενέσθαι τούτων τὴν ἀπαίτησιν ἡμεῖς οὐ δικαίαν κρίνομεν.

Caput XXXVII.

Vt qui hujuſmodi loca, ædes, hortos occupaverint, ea reſtituant, exceptis fructibus.

Porrò ut in præcepto noſtro nulla ambages appareat, ſed cuilibet in promptu ſit id quod juris eſt pernoſce-
C re; omnes intelligant, ſive fundum, ſive ædes, ſive hortum, ſive aliud quid ex bonis eorum quos ſuprà memoravi detinent, rectè atq; ordine ſe eſſe facturos, ſi ſeipſos ultro deferant, & rem abſq; ulla dilatione reſtituant. Ac tametſi nonnulli haudquaquã ex juſta poſſeſſionis cauſa magnos fructus earum rerum percepiſſe videantur, eos tamen fructus ab illis repeti, minimè æquum arbitramur.

ΚΕΦΑΛΑΙΟΝ ΛΗʹ.

Ποίῳ τρόπῳ δεῖ περὶ τούτων ἐπιδιδόναι δεήσεις.

Ὅμως γε μὴν αὐτοὶ ὁπόσα τε καὶ ὁπόθεν συνέλεξαν ἐπιγνόντες, τῷ ἁμαρτήματι τούτῳ συγχώρησιν γενέσθαι παρ' ἡμῶν δεηθήτωσαν· ὅπως ἅμα μὲν τῇ τοιαύτῃ διορθώσει ἡ φθάσασα λυθείη πλεονεξία. ἅμα δὲ ὁ μέγιστος Θεός, οἷον ἀντὶ μεταμελείας τινὸς τοῦτο προσιέμενος, εὐμενὴς ἐπὶ τοῖς ἁμαρτηθεῖσι γένοιτο. ἐροῦσι μὲν γὰρ ἴσως ἀντ' ἀπολογίας προϊσχόμενοι οἱ τῶν τοιούτων οὐσιῶν καταστάντες δεσπόται, εἴ γε τοῦτο καλεῖν ἄξιον ἐπ' αὐτῶν ἢ δυνατὸν τὸ πρόσρημα. ὡς οὐκ ἦν οἷόν τε ἀπέχεσθαι

Caput XXXVIII.

Quomodo ſuper his libellos dari oporteat.

D Verùm ipſi unde & quantos fructus collegerint ingenuè profitentes, delicti ſui veniam à nobis ſibi concedi poſtulent: ut & priſtina avaritia hujuſmodi emendatione diſſolvatur, & Deus Opt. Max. hanc velut pœnitentiæ cujuſdam loco ſatisfactionem accipiens, erratis benignus ignoſcat. Sed fortaſſe pro defenſione ſua prætendentes id dicent qui horum bonorum domini conſtituti ſunt (ſi tamen hoc nomine cenſeri aut merentur aut poſſunt) fieri omninò non potuiſſe ut ab iis rebus tunc abſtinerent, cum omnium cujuſq; generis